※ἔστησαν καὶ κατενόησάν με·✓
21 ἐπέβης δέ μοι ἀνελεημόνως,
χειρὶ κραταιᾷ με ἐμαστίγωσας·
22 ἔταξας δέ με ἐν ὀδύναις
※καὶ ἀπέρριψάς με ἀπὸ σωτηρίας.✓
23 οἶδα γὰρ ὅτι θάνατός με ἐκτρίψει·
οἰκία γὰρ παντὶ θνητῷ γῆ.
24 εἰ γὰρ ὄφελον δυναίμην ἐμαυτὸν χειρώσασθαι,
ἢ δεηθείς γε ἑτέρου, καὶ ποιήσει μοι τοῦτο.
25 ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα,
ἐστέναξα δὲ ἰδὼν ἄνδρα ἐν ἀνάγκαις.
26 ἐγὼ δὲ ἐπέχων ἀγαθοῖς,
ἰδοὺ συνήντησάν μοι μᾶλλον ἡμέραι κακῶν.
27 ※ἡ κοιλία μου ἐξέζεσεν καὶ οὐ σιωπήσεται,
※προέφθασάν με ἡμέραι πτωχείας.✓
28 στένων πεπόρευμαι ἄνευ φιμοῦ,
ἕστηκα δὲ ἐν ἐκκλησίᾳ κεκραγώς.
29 ἀδελφὸς γέγονα σειρήνων,
ἑταῖρος δὲ στρουθῶν.
30 τὸ δὲ δέρμα μου ἐσκότωται μεγάλως,
τὰ δὲ ὀστᾶ μου ἀπὸ καύματος.
31 ἀπέβη δὲ εἰς πάθος μου ἡ κιθάρα,
ὁ δὲ ψαλμός μου εἰς κλαυθμὸν ἐμοί.

31 1 ※διαθήκην ἐθέμην τοῖς ὀφθαλμοῖς μου
※καὶ οὐ συνήσω ἐπὶ παρθένον.
2 ※καὶ τί ἐμέρισεν ὁ θεὸς ἀπάνωθεν
※καὶ κληρονομία ἱκανοῦ ἐξ ὑψίστων;
3 ※οὐχὶ ἀπώλεια τῷ ἀδίκῳ
※καὶ ἀπαλλοτρίωσις τοῖς ποιοῦσιν ἀνομίαν;
4 ※οὐχὶ αὐτὸς ὄψεται ὁδόν μου
※καὶ πάντα τὰ διαβήματά μου ἐξαριθμήσεται;✓

20$^2$ εστησαν] + δε BS | με] μοι AV† || 21$^1$ επεβης] -βησαν B, απεβησαν AV† | ανελεημονες A | 21$^2$] pr. ως AV†: ex 21$^1$ fin.? || 22$^2$ in Sy La sub ※, sed adest etiam in Sa, cf. 20 3+4$^1$ || 23$^2$ παντι θν./γη] tr. AV† || 24$^2$ δεηθεις γε] δεηθηναι AV†, γε > S*† || 25$^2$ εστεν. δε] και εστ. AV†: cf. 3 12 | αναγκη A† || 26$^1$ εγω δε επεχων(Sc επεσχον)] και επ(ε)ιχον εγω εν AV†: cf. 3 12 | 26$^2$] pr. και AV† || 27$^2$ προεφθ.] + δε AV† || 30$^1$ δε > S | εσκοτ.] μεμελανωται AV† | 30$^2$ απο καυμ. BS*†] + συνεφρυγη AV†, + συνεφρυγησαν Sc†; pr. συνεφρυγη rel. (in *O* sub ※) || 31$^1$ δε > A | παθος] πενθος A pl. (item α′ σ′ θ′): cf. 29 25 | μου/η κιθ.] tr. AV†

31 1$^1$ οφθ.] αδελφοις S*† | 1$^2$ παρθενων A† || 2$^1$ τι εμερ.] διεμερ. S*†, ετι εμερ. BSc(†), επεμερ. AV† | απανωθεν (uel sim.) Sc pl.] απ > BS*A | 2$^2$ εξ υψιστων] εν υψιστω S*†, εξ υψιστου AV† || 3$^1$ ουχι Gra. (cf. 4)] ουαι mss. (+ και A) | 3$^2$ απαλλοτριωσεις AV† || 4$^2$ εξαριθμηθησεται B*SA†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/324 UNIVERSITÄT LEIPZIG